Γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς.

Τὸν ἄρτον ἡμῶν, τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον.

Καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν.

Καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν.

Ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ, Ἀμήν.

ORATIO DOMINICA.

Pater noster qui es in cælis.

Sanctificetur nomen tuũ.

Adueniat regnum tuum.

Fiat voluntas tua, sicut in cælo & in terra.

Panem nostrum quotidianum da nobis hodie.

Et dimitte nobis debita nostra: sicut & nos dimittimus debitoribus nostris.

Et ne nos inducas in tentationem.

Sed libera nos à malo, Amẽ.

ΑΣΠΑΣΜΟΣ τοῦ ΑΓΓΕΛου πρὸς τὴν ἁγιωτάτην παρθένον.

Χαῖρε Μαρία κεχαριτωμένη, ὁ Κύριος μετὰ σοῦ, εὐλογημένη σὺ ἐν γυναιξὶ, καὶ εὐλογημένος ὁ καρπὸς τῆς κοιλίας σου Ἰησοῦς.

Ἁγία Μαρία μῆτερ τοῦ Θεοῦ, προσεύχου ὑπὲρ ἡμῶν ἁμαρτωλῶν, νῦν καὶ ἐν τῇ ὥρᾳ τοῦ θανάτου ἡμῶν, Ἀμήν.

ΣΥΜΒΟΛΟΝ τῶν ΑΓΙΩΝ Ἀποστόλων.

Πιστεύω εἰς θεὸν πατέρα παντοκράτορα, ποιητὴν οὐρανοῦ καὶ γῆς.

Καὶ εἰς Ἰησοῦν Χριστὸν υἱὸν αὐτοῦ, ἕνα μόνον Κύριον ἡμῶν.

Συλληφθέντα ἐκ πνεύματος ἁγίου, γεννηθέντα ἐκ Μαρίας τῆς παρθένου.

Παθόντα ἐπὶ Ποντίου Πιλάτου, σταυρωθέντα, θανόντα καὶ ταφέντα.

Κατελθόντα εἰς ᾅδην, τῇ τρίτῃ ἡμέρᾳ ἀναστάντα ἐκ νεκρῶν.

Ἀνελθόντα εἰς οὐρανοὺς, καθεζόμενον ἐν δεξιᾷ θεοῦ τοῦ πατρὸς παντοκράτορος.

Ὅθεν μέλλει ἔρχεσθαι κρῖναι ζῶντας καὶ νεκρούς.

SALVTATIO ANGELIca ad sanctissimã Virginem.

AVE Maria gratia plena, Dominus tecum, benedicta tu in mulieribus, & benedictus fructus ventris tui Iesus.

Sancta Maria mater Dei, ora pro nobis peccatoribus, nunc & in hora mortis nostræ, Amen.

SYMBOLVM SANCTOrum Apostolorum.

CRedo in Deum patrem omnipotentem, factorem cœli & terræ.

Et in Iesum Christum filium eius vnicum Dominũ nostrum.

Qui conceptus est de Spiritu Sancto, natus ex Maria Virgine.

Passus sub Pontio Pilato, crucifixus, mortuus & sepultus.

Descendit ad inferos, tertia die resurrexit à mortuis.

Ascendit ad cœlos, sedet ad dexteram Dei patris omnipotentis.

Inde venturus est iudicare viuos & mortuos.

Πιστεύω εἰς πνεῦμα ἅγιον.
Ἁγίαν ἐκκλησίαν καθολικήν, ἁγίων κοινωνίαν.
Ἄφεσιν ἁμαρτιῶν.
Σαρκὸς ἀνάστασιν.
Καὶ ζωὴν αἰώνιον, Ἀμήν.

Credo in Spiritū Sanctū.
Sanctā Ecclesiā Catholicam, Sanctorū cōmunionē.
Remissionem peccatorum.
Carnis resurrectionem.
Et vitam æternam, Amen.

ΔΕΚΑΛΟΓΟΣ. ΔΕΚΑ ἐντολαὶ Θεοῦ.

Ἐγώ εἰμι κύριος ὁ θεός σου, οὐκ ἔσονταί σοι θεοὶ ἕτεροι πλὴν ἐμοῦ. Οὐ ποιήσεις ἑαυτῷ τὸ γλυπτόν, οὐ προσκυνήσεις αὐτῷ.

Οὐ λήψῃ τὸ ὄνομα κυρίου τοῦ θεοῦ σου ἐπὶ ματαίῳ, οὐ γὰρ μὴ καθαρίσῃ κύριος τὸν λαμβάνοντα τὸ ὄνομα κυρίου τοῦ Θεοῦ αὐτοῦ ἐπὶ ματαίῳ.

Μνήσθητι τὴν ἡμέραν τῶν Σαββάτων ἁγιάζειν αὐτήν.

Τίμα τὸν πατέρα σου καὶ τὴν μητέρα σου, ἵνα γένῃ μακροχρόνιος ἐπὶ τῆς γῆς, ἧς κύριος ὁ θεός σου δίδωσί σοι.

Οὐ φονεύσεις.

Οὐ μοιχεύσεις.

Οὐ κλέψεις.

Οὐ ψευδομαρτυρήσεις κατὰ τοῦ πλησίον σου μαρτυρίαν ψευδῆ.

Οὐκ ἐπιθυμήσεις τὴν γυναῖκα τοῦ πλησίον σου.

Οὐκ ἐπιθυμήσεις οἰκίαν,

DECALOGVS. DECEM præcepta Dei.

I. Ego sū Dominus Deus tuus, non habebis Deos alienos coram me. Non facies tibi sculptile, vt adores illud.

II. Non assumes nomen Domini Dei tui in vanū, nec enim insontē habebit Dominus eum, qui assumpserit nomen Domini Dei sui frustra.

III. Memento vt diem Sabbati sanctifices.

IV. Honora patrē tuum, & matrem tuā, vt sis longæuus super terram, quam Dominus Deus tuus dabit tibi.

V. Non occides.

VI. Non mœchaberis.

VII. Non furtum facies.

VIII. Nō loqueris cōtra proximū tuū falsū testimoniū.

IX. Non concupisces vxorem proximi tui.

X. Non concupisces domum,

οὔτε τὸν ἀγρὸν αὐτοῦ, οὔτε τὸν παῖδα αὐτοῦ, οὔτε τὴν παιδίσκην αὐτοῦ, οὔτε τοῦ βοὸς αὐτοῦ, οὔτε τοῦ ὑποζυγίου αὐτοῦ, οὔτε ὅσα τῷ πλησίον σου ἐστί.	*non agrum eius, non seruũ eius, non ancillam eius, non bouem eius, non asinum eius, non vniuersa quæ illius sunt.*
ΑΣΜΑ ΤΗΣ ΑΓΙΩΤΑΤΗΣ θεοτόκου.	CANTICVM SANCTISSIMÆ Deiparæ.
Μεγαλύνει ἡ ψυχή μου τὸν κύριον.	*Magnificat anima mea Dominum.*
Καὶ ἠγαλλίασε τὸ πνεῦμά μου ἐπὶ τῷ Θεῷ τῷ σωτῆρί μου.	*Et exultauit spiritus meus, in Deo salutari meo.*
Ὅτι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης αὐτοῦ, ἰδοὺ γὰρ ἀπὸ τοῦ νῦν μακαριοῦσί με πᾶσαι αἱ γενεαί.	*Quia respexit humilitatẽ ancillæ suæ: Ecce enim ex hoc beatam me dicent omnes generationes.*
Ὅτι ἐποίησέ μοι μεγαλεῖα ὁ δυνατὸς, καὶ ἅγιον τὸ ὄνομα αὐτοῦ.	*Quia fecit mihi magna qui potens est, & sanctum nomen eius.*
Καὶ τὸ ἔλεος αὐτοῦ εἰς γενεὰς γενεῶν, τοῖς φοβουμένοις αὐτόν.	*Et misericordia eius à progenie in progenies, timentibus eum.*
Ἐποίησε κράτος ἐν βραχίονι αὐτοῦ, διεσκόρπισεν ὑπερηφάνους διανοίᾳ καρδίας αὐτῶν.	*Fecit potentiam in brachio suo, dispersit superbos mente cordis sui.*
Καθεῖλε δυνάστας ἀπὸ θρόνων, καὶ ὕψωσε ταπεινούς.	*Deposuit potentes de sede, & exaltauit humiles.*
Πεινῶντας ἐνέπλησεν ἀγαθῶν, καὶ πλουτοῦντας ἐξαπέστειλε κενούς.	*Esurientes impleuit bonis, & diuites dimisit inanes.*
Ἀντελάβετο Ἰσραὴλ παιδὸς αὐτοῦ, μνησθῆναι ἐλέους.	*Suscepit Israël puerũ suũ, recordatus misericordiæ suæ*
Καθὼς ἐλάλησε πρὸς τοὺς	*Sicut locutus est ad patres*

πατέ-

πατέρας ἡμῶν, τῷ Ἀβραὰμ, καὶ τῷ σπέρματι αὐτοῦ εἰς τὸν αἰῶνα.

ΑΣΜΑ τοῦ ΣΙΜΕΩΝΟΣ.

Νῦν ἀπολύεις τὸν δοῦλόν σου δέσποτα κατὰ τὸ ῥῆμά σου ἐν εἰρήνῃ.

Ὅτι εἶδον οἱ ὀφθαλμοί μου τὸ σωτήριόν σου.

Ὃ ἡτοίμασας κατὰ πρόσωπον πάντων τῶν λαῶν.

Φῶς εἰς ἀποκάλυψιν ἐθνῶν, καὶ δόξαν λαοῦ σου Ἰσραήλ.

ΑΣΜΑ τοῦ ΖΑΧΑΡΙΟΥ.

Εὐλογητὸς Κύριος ὁ Θεὸς, τοῦ Ἰσραήλ, ὅτι ἐπεσκέψατο καὶ ἐποίησε λύτρωσιν τῷ λαῷ αὐτοῦ.

Καὶ ἤγειρε κέρας σωτηρίας ἡμῖν, ἐν τῷ οἴκῳ Δαβὶδ τοῦ παιδὸς αὐτοῦ.

Καθὼς ἐλάλησε διὰ στόματος τῶν ἁγίων, τῶν ἀπ' αἰῶνος προφητῶν αὐτοῦ.

Σωτηρίαν ἐξ ἐχθρῶν ἡμῶν, καὶ ἐκ χειρὸς πάντων τῶν μισούντων ἡμᾶς.

Ποιῆσαι ἔλεος μετὰ τῶν πατέρων ἡμῶν, καὶ μνησθῆναι διαθήκης ἁγίας αὐτοῦ.

nostros, Abraham & semini eius in secula.

CANTICVM SIMEONIS.

Nunc dimittis seruum tuum Domine, secundum verbum tuum in pace.

Quia viderunt oculi mei, salutare tuum.

Quod parasti ante faciem omnium populorum.

Lumen ad reuelationem gentium, & gloriam plebis tuæ Israël.

CANTICŪ ZACHARIÆ.

Benedictus Dominus Deus Israël, quia visitauit & fecit redemptionem plebis suæ.

Et erexit cornu salutis nobis, in domo David pueri sui.

Sicut locutus est per os Sanctorum, qui à seculo sunt Prophetarum eius.

Salutem ex inimicis nostris, & de manu omnium qui oderunt nos.

Ad faciendū misericordiā cū patrib. nostris: & memorari testamēti sui sancti.

Ὅρκον ὃν ὤμοσε πρὸς Ἀβραὰμ τὸν πατέρα ἡμῶν, τοῦ δοῦναι ἡμῖν.

Iusiurandū quod iurauit ad Abraam, patrem nostrū, daturum se nobis.

Ἀφόβως ἐκ χειρὸς τῶν ἐχθρῶν ἡμῶν ῥυσθέντας, λατρεύειν αὐτῷ.

Vt sine timore de manu inimicorum nostrorum liberati seruiamus illi.

Ἐν ὁσιότητι καὶ δικαιοσύνῃ ἐνώπιον αὐτοῦ πάσας τὰς ἡμέρας τῆς ζωῆς ἡμῶν.

In sanctitate & iustitia coram ipso, omnibus diebus nostris.

Καὶ σὺ παιδίον προφήτης ὑψίστου κληθήσῃ, προπορεύσῃ γὰρ πρὸ προσώπου κυρίου ἑτοιμάσαι ὁδοὺς αὐτοῦ.

Et tu puer, Propheta altissimi vocaberis, praeibis enim ante faciem Domini parare vias eius.

Τοῦ δοῦναι γνῶσιν σωτηρίας τῷ λαῷ αὐτοῦ, ἐν ἀφέσει ἁμαρτιῶν αὐτῶν.

Ad dandā scientiā salutis plebi eius, in remissionem peccatorum eorum.

Διὰ σπλάγχνα ἐλέους Θεοῦ ἡμῶν ἐν οἷς ἐπεσκέψατο ἡμᾶς, ἀνατολὴ ἐξ ὕψους.

Per viscera misericordiae Dei nostri, in quibus visitauit nos oriens ex alto.

Ἐπιφᾶναι τοῖς ἐν σκότει καὶ σκιᾷ θανάτου καθημένοις, τοῦ καθευθύναι τοὺς πόδας ἡμῶν εἰς ὁδὸν εἰρήνης.

Illuminare his, qui in tenebris & in vmbra mortis sedent, ad dirigendos pedes nostros in viam pacis.

ΥΜΝΟΣ ΠΡΟΣ ΤΗΝ ΑΓΙΩΤΑΤΗΝ παρθένον Μαρίαν.

HYMNVS AD SANctiss. Virginem Mariam.

Χαῖρε δέσποινα, μῆτερ ἐλέους, ζωὴ, γλυκύτης, καὶ ἐλπὶς ἡμῶν χαῖρε. πρὸς σὲ βοῶμεν ἐξόρισοι παῖδες τῆς Εὔας, πρὸς σὲ ἀτενίζομεν στενάζοντες καὶ θρηνοῦντες, ἐν τῇδε τῇ τοῦ κλαυθμῶνος κοιλάδι.

Salue regina, mater misericordiae, vita, dulcedo, & spes nostra salue. Ad te clamamus exules filii Euae, ad te suspiramus gementes & flentes in hac lachrymarum valle.

Ἄγε

Ἄγε δὴ συνήγορε ἡμῶν, εὐσπλάγχνους σοῦ ὀφθαλμοὺς ἐφ᾽ ἡμᾶς ἐπίστρεψον, καὶ Ἰησοῦν τὸν εὐλογημένον καρπὸν τῆς κοιλίαν σου μετὰ τὴν ὑπερορίαν ταύτην ἡμῖν ἀνάδειξον, ὦ ἐπιεικής, ὦ εὔσπλαγχνε, ὦ ἡδεῖα παρθένε Μαρία.

Eia ergo aduocata nostra illos tuos misericordes oculos ad nos conuerte, & Iesum benedictum fructum ventris tui nobis post hoc exilium ostende. O clemens, ô pia, ô dulcis virgo Maria.

Ἄλλος.

Χαῖρε πόντου ἀστὴρ,
Θεοῦ μῆτερ ἱερὰ,
Καὶ ἀεὶ παρθένε,
Μάκαρ πόλου πύλη.
Σχοῦσα κεῖνο χαῖρε,
Γαβριῆλος χείλει,
Δὸς ἡμῖν εἰρήνην.
Τρέπουσ᾽ Εὔας κλῆσιν.
Λῦε δέσμ᾽ ἐνόχοις.
Φῶς τυφλοῖσι πέμπε,
Κακὰ ἡμῶν εἶργε.
Χρηστὰ πάντα αἴτει.
Δεῖξόν σε μητέρα,
Λιτὰς πρός σου λάβῃ.
Ὑπὲρ ἡμῶν υἱὸς
Ὃ τλὰς σὸς καλεῖσθαι.
Κόρη ἐξαίρετε,
Ἐν πάσαις πρᾳεῖα,
Ἡμᾶς ἀνεγκλήτους,
Πρᾴους ποίει κἀγνούς.
Βίον καθάρισον,
Τρίβον ἀσφάλισον,

Alius.

AVE maris stella,
Dei mater alma,
Atque semper virgo,
Fœlix cœli porta.
Sumens illud Aue
Gabrielis ore,
Funda nos in pace,
Mutans nomen Euæ,
. Solue vincla reis,
Profer lumen cæcis,
Mala nostra pelle,
Bona cuncta posce.
Monstra te esse matrem,
Sumat per te preces,
Qui pro nobis natus
Tulit esse tuus.
Virgo singularis,
Inter omnes mitis,
Nos culpis solutos,
Mites fac & castos.
Vitam præsta puram,
Iter para tutum,

Ὡς ἰδόντες Ἰησοῦν,
Ἀεὶ συνησθῶμεν.
Δόξα Θεῷ πατρὶ,
Καὶ υἱῷ τὸ κῦδος
Πνεύματι ἁγίῳ
Τρισὶ μία τιμὴ, Ἀμήν.

Vt videntes Iesum
Semper collætemur.
Sit laus Deo Patri,
Summo Christo decus,
Spiritui sancto
Tribus honor vnus, Amen.

Ἑπτὰ μυστήρια τῆς καθολικῆς ἐκκλησίας.

Septem Sacramenta Catholicæ Ecclesiæ.

Βαπτισμὸς, σφραγισμὸς, εὐχαριστία, μετάνοια, τελευταία χρῖσις, χειροτονία, συζυγία.

Baptismus, Confirmatio, Eucharistia, Pœnitẽtia, Extrema vnctio, Ordo, Matrimonium.

ΑΡΕΤΑΙ ΘΕΟΛΟγικαὶ

VIRTVTES THEologicæ.

Πίστις, ἐλπὶς, καὶ ἀγάπη.

Fides, spes, & charitas.

ΑΡΕΤΑΙ ΠΡΩτεύουσαι.

VIRTVTES CARDInales.

Φρόνησις, σωφροσύνη, δικαιοσύνη, καὶ ἀνδρεία.

Prudentia, temperantia, iustitia, & fortitudo.

ΔΩΡΑ ΤΟΥ ΑΓΙΟΥ πνεύματος.

DONA SPIRITVS sancti.

Σοφία, σύνεσις, βουλὴ, ἰσχὺς, γνῶσις, εὐσέβεια, καὶ φόβος τοῦ κυρίου.

Sapientia, intellectus, consilium, fortitudo, scientia, pietas, & timor Domini.

ΚΑΡΠΟΙ ΤΟΥ ΠΝΕΥματος ἁγίου.

FRVCTVS SPIRITVS sancti.

Ἀγάπη, χαρὰ, εἰρήνη, ὑπομονὴ, χρηστότης, ἀγαθωσύνη, μακροθυμία, πρᾳότης, πίστις, ἐπιείκεια, ἐγκράτεια, ἁγνεία.

Charitas gaudium, pax, patientia, benignitas, bonitas, lõganimitas, mansuetudo, fides, modestia, continentia, castitas.

ΕΝΤΟΛΑΙ ΤΗΣ ἀγάπης.

PRÆCEPTA CHARItatis.

Ἀγαπήσεις τὸν κύριον τὸν θεόν σου, ἐξ ὅλης τῆς καρδίας σου, καὶ ἐξ ὅλης τῆς ψυχῆς σου, καὶ ἐξ ὅλης τῆς διανοίας σου.

Diliges Dominum Deum tuum ex toto corde tuo, & ex tota anima tua, & ex tota mente tua.

Ἀγα-

Ἀγαπήσεις τὸν πλησίον σου ὡς σεαυτόν.

ΕΝΤΟΛΑΙ ΤΗΣ ἐκκλησίας.

Τεταγμένας ἑορτὰς τὰς τῆς ἐκκλησίας τῷ ἀπέχεσθαι τῶν ἔργων λατρευτῶν ἄγειν.

Τὴν ἁγίαν λειτουργίαν ταῖς ἑορταῖς εὐλαβῶς ἀκούειν.

Τῇ τεσσαρακοστῇ, τοῖς τοῦ ἔτους χρόνοις τέσσαρσι, καὶ τοῖς προεορτίοις κατὰ τὸ τῆς ἐκκλησίας ἔθος νηστεύειν, καὶ τῇ ἕκτῃ καὶ Σαββάτῳ τῶν κρεῶν ἀπέχειν.

Τὰς ἁμαρτίας τῷ ἱερεῖ ἐγκριθέντι ἐξομολογεῖσθαι, καὶ τὴν παναγίαν εὐχαριστίαν περὶ τὴν τοῦ πάσχα ἑορτὴν λαμβάνειν, καὶ τόδε τοὐλάχιστον ἅπαξ ἐν ἔτει.

Ταῖς ἡμέραις ταῖς ὑπὸ τῆς ἐκκλησίας ἀπηγορευμέναις τοὺς γάμους μὴ συντελέσαι.

ΕΡΓΑ ΕΛΕΟΥΣ ΤΑ πνευματικά.

Διδάσκειν ἀγνοοῦντα.
Ἐλέγχειν ἁμαρτάνοντα.
Συμβουλεύειν ἀποροῦντι.
Παρακαλεῖν ταλαιπωροῦντα.
Καρτερεῖν τὰς ἀδικίας.
Συγγινώσκειν τὸ παράπτωμα.
Προσεύχεσθαι ὑπὲρ τῶν ζώντων, θανόντων καὶ διωκόντων.

ΣΩΜΑΤΙΚΑ.

Σιτίζειν πεινῶντα.
Ποτίζειν διψῶντα.
Συνάγειν ξένον.
Περιβάλλειν γυμνόν.
Ἐπισκέπτεσθαι ἀσθενῆ.

Diliges proximum tuum sicut teipsum.

PRÆCEPTA ECCLESIÆ.

Statutos Ecclesiæ festos dies ab operibus seruilibus abstinēdo celebrare.

Sacrum Missæ officium diebus festis reuerenter audire.

Quadragesima, quatuor anni temporibus, & Vigiliis secundum morem Ecclesiæ ieiunare, & feria sexta ac Sabbato à carnibus abstinere.

Peccata sacerdoti approbato confiteri & sacrosanctam Eucharistiam circa festum pascha sumere, idq; saltem semel in anno.

Diebus ab Ecclesia interdictis nuptias non celebrare.

OPERA MISERICORDIÆ spiritualia.

Docere ignorantem.
Corrigere peccantem.
Consiliis iuuare indigentem.
Consolari afflictum.
Ferre patienter iniurias.
Remittere offensam.
Orare pro viuis, defunctis, & pro persequentibus.

CORPORALIA.

Pascere esurientem.
Potare sitientem.
Colligere hospitem
Operire nudum.
Visitare infirmum.

Ἐλθεῖν πρὸς τοὺς ἐν φυλακῇ, καὶ λυτροῦν τοὺς αἰχμαλώτους.

Ire ad eos, qui sunt in carcere, & captiuos redimere.

Θάπτειν θανόντα.

Sepelire mortuum.

ΜΑΚΑΡΙΣΜΟΙ.

BEATITVDINES.

Μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι, ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν.

Beati pauperes spiritu, quoniam ipsorum est regnum cœlorum.

Μακάριοι οἱ πενθοῦντες, ὅτι αὐτοὶ παρακληθήσονται.

Beati qui lugent, quoniam ipsi consolabuntur.

Μακάριοι οἱ πραεῖς, ὅτι αὐτοὶ κληρονομήσουσι τὴν γῆν.

Beati mites, quoniam ipsi possidebunt terram.

Μακάριοι οἱ πεινῶντες καὶ διψῶντες τὴν δικαιοσύνην, ὅτι αὐτοὶ χορτασθήσονται.

Beati qui esuriunt & sitiunt iustitiam, quoniam ipsi saturabuntur.

Μακάριοι οἱ ἐλεήμονες, ὅτι αὐτοὶ ἐλεηθήσονται.

Beati misericordes, quoniã ipsi misericordiam consequentur.

Μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ, ὅτι αὐτοὶ τὸν Θεὸν ὄψονται.

Beati mundo corde, quoniã ipsi Deum videbunt.

Μακάριοι οἱ εἰρηνοποιοί, ὅτι αὐτοὶ υἱοὶ Θεοῦ κληθήσονται.

Beati pacifici, quoniam ipsi filii Dei vocabuntur.

Μακάριοι οἱ δεδιωγμένοι ἕνεκεν δικαιοσύνης, ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν.

Beati qui persecutionem patiũtur propter iustitiam, quoniam ipsorũ est regnũ cœlorũ.

ΠΕΝΤΕ ΑΙΣΘΗΣΕΙΣ τοῦ σώματος.

QVINQVE SENSVS corporis.

Ὄψις, ἀκοή, ὄσφρησις, γεῦσις, ἁφή.

Visus, Auditus, Odoratus, Gustus, Tactus.

ΕΠΤΑ ΑΜΑΡΤΗΜΑΤΑ θανάσιμα.

SEPTEM PECCATA mortalia.

Ὑπερηφανία, πλεονεξία, ἀσέλγεια, φθόνος, γαστριμαργία, ὀργή, ἀκηδία.

Superbia, Auaritia, Luxuria, Inuidia, Gula, Ira, Acidia.

ΤΕΣΣΑΡΑ ΕΣΧΑΤΑ ἀξιομνημόνευτα.

QVATVOR NOVISSIMA memoranda.

Θάνατος, κρίσις τελευταία, ᾅδης, καὶ βασιλεία τῶν οὐρανῶν.

Mors, iudicium extremum, infernus, & regnum cœlorum.

ΕΥΧΗ

Τοῦ ἐν ἁγίοις Θωμᾶ Ἀκουϊναίου πρὸ τοῦ διατρίβειν περὶ βιβλία.

Ὦ δημιουργὲ ἀπόρρητε, κύριε ἐμοῦ καὶ θεὸς ἐμοῦ, ὁ ἐκ τῶν θησαυρῶν τῆς σοφίας σου τοὺς ἐννέα τῶν ἀγγέλων χοροὺς κτισάμενος, καὶ αὐτοὺς ὑπεράνω τοῦ οὐρανοῦ τοῦ ἐμπυρίου θαυμαστῇ τάξει καταστησάμενος, καὶ τὰ τοῦ ὅλου μέρη κομψοτάτως διελόμενος, σύ, φημι, ὁ ἀληθὴς πηγὴ τοῦ φωτὸς καὶ σοφίας, καὶ ἀνυπέρβλητος ἀρχὴ ἐπονομασθεὶς, καταξίωσον ἐμβαλεῖν τῷ σκότει τῆς διανοίας ἐμοῦ ἀκτῖνα τῆς σῆς λαμπρότητος, διπλοῦν σκότος ἐμοῦ ἀφελόμενον, τὴν ἁμαρτίαν δηλονότι, καὶ ἄγνοιαν, ἐν ᾗ ἐγεννήθην. σὺ ὁ τὰς τῶν νηπίων γλώσσας εὐλάλους κατασκευάζων, τὴν γλῶσσαν ἐμοῦ παίδευσον, καὶ ἐν χείλεσί μου τὴν χάριν τῆς εὐλογίας τῆς σῆς ἔγχεε. δὸς ἐμοὶ πρὸς τὸ διανοεῖν, ὀξυδέρκειαν· πρὸς τὸ διατηρεῖν, εὐφυΐαν· πρὸς τὸ ἐξηγήσασθαι ἀγχίνοιαν καὶ πρὸς τὸ μανθάνειν εὐπορίαν, καὶ πρὸς τὸ λαλεῖν χάριν ἄφθονον. τὴν εἴσοδον φύλαττε, τὴν πρόοδον εὔθυνε, καὶ τὴν ἔξοδον συμπλήρωσον, διὰ τοῦ Χριστοῦ τοῦ κυρίου ἡμῶν.

ORATIO

S. Thomæ Aquinatis ante ſtudia litterarum.

Creator ineffabilis Domine meus, & Deus meus, qui de theſauris tuæ ſapientiæ nouem Angelorum choros condidiſti, & eos ſuper cœlum empyreum miro ordine collocaſti, atq; elegantiſsimè partes vniuerſi diſtribuiſti: Tu, inquam, qui verus fons luminis & ſapientiæ diceris, atq; ſuperemineus principium, infundere digneris ſuper intellectus mei tenebras, tuæ radium claritatis, duplices à me remouens tenebras, peccatum ſcilicet & ignorantiam, in qua natus ſum. Tu qui linguas infantium facis diſertas, linguam meam erudias, atq; in labiis meis gratiam tuæ benedictionis infundas. Da mihi intelligendi acumen, retinendi capacitatē, interpretandi ſubtilitatem, addiſcendi facilitatem, & loquendi gratiam copioſam: Ingreſſum inſtruas, progreſſum dirigas, egreſſum compleas, per Chriſtum Dominum noſtrum.

ΚΑΤΩΝΟΣ ΓΝΩΜΑΙ ΠΑΡΑΙΝΕΤΙΚΑΙ ΔΙΣΤΙΧΟΙ.

Προοίμιον.

Ἀναπολήσας ἐγὼ κατὰ νοῦν, ὡς πλεῖστοι δὴ τῶν ἀνθρώπων τῆς τῶν ἠθῶν ὁδοῦ παρατρέπονται, συλληπτέον τε εἶναι, καὶ γνώμην συνεισακτέον ᾠήθην δεῖν ταῖς σφῶν ὑπολήψεσιν, ἵν᾽ ὅτι μάλιστα σὺν εὐδοξίᾳ τε βιώσωμεν, καὶ τιμῆς ἐπιτύχοιεν. Δεῦρο τοίνυν σε φίλτατε υἱὲ διδάξω τρόπον τίνα τὰ τοῦ σου νοὸς ἤθη κοσμήσεις. Οὕτω δ᾽ οὖν ἀναλέγου τάσδε τὰς ἐμὰς ἐντολάς, ὥστε καὶ συνιέναι αὐτῶν. τὸ γάρ τοι ἀναγινώσκειν, καὶ μὴ γινώσκειν, καταγινώσκειν ἐστίν.

Καὶ δῆτα Θεῷ λάτρευε.

Γονέας ἀγάπα.

Τοὺς προσήκοντας τίμα.

CATONIS DISTICHA DE MORIBUS.

Procemium.

CVM animaduerterem, quàm plurimos homines grauiter errare in via morum, succurrendum & consulendum eorum opinioni fore existimaui, maximè vt gloriosè viuerent, & honorem contingerent. Nunc te fili clarissime docebo, quo pacto mores tui animi componas. Igitur praecepta mea ita legas, vt intelligas. Legere enim, & non intelligere, negligere est.

Itaque Deo supplica.

Parentes ama.

Cognatos cole.

Τὸν καθηγητὴν δέδιθι.	*Magistrum metue.*
Τὸ πιστευθέν σοι τήρει.	*Datum serua.*
Σαυτὸν τῷ βουλευτηρίῳ δεξιὸν πάρεχε.	*Foro tepara.*
Ἀγαθοῖς ὁμίλει.	*Cum bonis ambula.*
Μὴ πρότερον εἰς βουλὴν παρέλθῃς πρὶν ἂν κληθείης.	*Ad consilium ne accesseris, antequam voceris.*
Καθάρειος ἴσθι.	*Mundus esto.*
Ἀσμένως ἀσπάζου.	*Saluta libenter.*
Τῷ μείζονι ὑπεξίστασο.	*Maiori cede.*
* *	*Minori parce.*
Τὰ ὑπάρχοντα φρούρει.	*Rem tuam custodi.*
Τὴν αἰδῶ φύλαττε.	*Verecundiam serua.*
Τῇ ἀκριβείᾳ πρόσεχε.	*Diligentiam adhibe.*
Τὰς βίβλους διέρχου.	*Libros lege.*
Τῶν ἀνεγνωσμένων μέμνησο.	*Quod legeris memento.*
Τῆς οἰκίας ἐπιμελοῦ.	*Familiam cura.*
Ἤπιος ἔσο.	*Blandus esto.*
Μὴ ὀργίζου ἀναιτίως.	*Irasci abre noli.*
Μηδένα κατακρίνῃς.	*Neminem irriseris.*
Δυσπραγοῦντα μὴ χλευάσῃς	*Miserum ne irriseris.*
Δάνειον πάρεχε	*Mutuum dato.*
Σκόπει δ᾽ οὖν τίνι παρέχεις.	*Cui des, videto.*
Εἰς δίκην προσκληθεὶς πάρειθι.	*Iudicio adesto*
Σπανιάκις συμποσίαζε.	*Conuiuare raro.*
Τὸ ἀποχρεῶν κάθευδε.	*Quod satis est, dormi.*

Ορκου

Ὅρκον τήρει.	*Iusiurandum serua.*
Οἴνῳ σεαυτὸν κεράννυε.	*Vino te tempera.*
Μάχου ὑπὲρ πατρίδος.	*Pugna pro patria.*
Μηδὲν προπετέστερον πίστευε.	*Nil temerè credideris.*
Ἀσφαλῶς βουλεύου.	*Tuto consule.*
Ἑταίρας φεῦγε.	*Meretricem fuge.*
Γράμματα μελετᾶν θέλε.	*Literas disce.*
Μὴ ψεύδεσθαι βούλου.	*Nil mentiri debes.*
Τοὺς ἀγαθοὺς ἀγαθὸν ποίει.	*Bonis benefacito.*
Κακολογίας ἀφίστασο.	*Maledicus ne esto.*
Τὴν ὑπόνοιαν ἔπεχε.	*Existimationem retine.*
Τὰ δίκαια κρίνε.	*AEquum iudica.*
Τοὺς τεκόντας ὑπομονῇ νίκα.	*Parentes patientia vince.*
Εὐποιΐας, ἧς ἔτυχες, μνημονεύειν.	*Beneficij accepti memor esto.*
Τῷ πραιτωρίῳ ἐμφιλοχώρει.	*Ad prætorium stato.*
Σύμβουλος ἴσθι.	*Consultus esto.*
Ἀρετῇ χρῶ.	*Vtere virtute.*
Τὴν ὀργιλότητα κίρνα.	*Iracundiam tempera.*
Σφαίραις ἄθυρε.	*Trocho lude.*
Κύβων ἀπέχου.	*Aleas fuge.*
Μηδὲν τῇ τῆς ἰσχύος κρίσει διαπράξῃ.	*Nihil ex arbitrio virium feceris.*
Τὸν ἐλάττω μὴ ἀποσκυβαλίσῃς.	*Minorem te non contempseris.*
Ἀλλοτρίων μὴ ἐπιθύμει.	*Aliena concupiscere noli.*

Τὴν

Τὴν σύνοικον στέργε.	*Coniugem ama.*
Τὰ φίλτατα παίδευε.	*Liberos erudi.*
Φέρε νόμον, ὃν αὐτὸς ἄλλοις ἐπέθηκας.	*Patere legem, quam ipſe tuleris.*
Βραχέα ἐν συμποσίῳ λάλει.	*Pauca in conuiuio loquere.*
Ὃ δίκαιον, ποίει.	*Illud ſtude quod iuſtum eſt.*
Ἀσπασίως φιλίαν φέρε.	*Amorem libenter ferto.*

ΒΙΒΛΙΟΝ ΠΡΩΤΟΝ.

I.

Εἰ ὁ Θεὸς νόμος ἐστ', ὡς τῶν λογίων πυθόμεθα,
Καὶ καθαρῷ νοῒ τόνδε σέβου περιώσια πάντων.

II.

Αγρύπνει τὸ πλέον, μὴ δ' ὕπνοις ἔκδοτος ἔσο,
Μακρὸν γὰρ τ' ἀνάπαυμα τροφὴν παθέεσσι χορηγεῖ.

III.

Πρωτίστην ἀρετῶν οἴμαι, τὸ γλῶσσαν ἐπίσχειν.
Εγγύθι δ' ὄντα Θεοῦ τὸν σὺν λόγῳ εἰδότα σιγᾷν.

IV.

Μὴ ἀντιμάχου σαυτῷ μὴ σαυτῷ ἐναντίος εἴης.
Ος γὰρ ἑαυτῷ μὴ συμφωνεῖ, πῶς ἑτέροισιν;

V.

Ην μερόπων ἐπίδῃς βίον, ἢ δὲ καὶ ἤθεα τῶνδε,
Οὐδέν' ἀναίτιον εἴσῃ, κ' ἂν μέμφοιντό περ ἄλλους.

VI.

Εἰ βλαβερὸν κατέχῃς τι, καὶ εἰ φίλον ἔπλετο, ῥίψον.
Δεῖ γὰρ προκρίνειν τόγε συμφέρον ἐσθ' ὅτε πλούτου.

VII.

Εμβριθὴς ἔσο καὶ πραΰς, ὥσγε τὰ πράγματ' ἀπαιτεῖ.
Πρὸς γὰρ τοὺς καιροὺς ὁ σοφὸς μεταβάλλετ' ἀμέμπτως.

VIII.

Μεμφομένης ἀλόχου δούλους προπετῶς μὴ ἀκούσῃς.
Πολλάκι γὰρ τὸ πόσις φιλέει, στυγέει παράκοιτις.

IX.

Εἰ σὺ παραινεῖς μέν τινι, κεῖνος δ' οὐκ ἐπακούει,
Καὶ μὴν ἂν εἰ τὰ μάλιστα φιλῇς, μὴ ἀφίστασο τοὔργου.

X.

Μὴ αὐθίστασο, μὴ δ' ἐρίδαινε λάλοις ἀδολέσχαις.
Ὅττι λόγος δέδοται πᾶσι, ξυνέσις δ' ὀλιγίστοις.

XI.

Ως ἑτέρους φίλει, ὧ καὶ σαυτῷ φίλτατος εἶναι.
Ως καλοῖς καλὸς ἴσθ', ὡς μὴ βλαβερόν τί σοι ἥξειν.

LIBER PRIMVS.

I.

SI Deus est animus, nobis vt carmina dicunt,
Hic tibi præcipuè sit pura mente colendus.

II.

Plus vigila semper, nec somno deditus esto,
Nam diuturna quies, vitiis alimenta ministrat.

III.

Virtutem primam esse puta, compescere linguam:
Proximus ille Deo, qui scit ratione tacere.

IV.

Sperne repugnando tibi tu contrarius esse.
Conueniet nulli: qui secum dissidet ipse.

V.

Si vitam inspicias hominum, si deniq; mores,
Cùm culpent alios, nemo sine crimine viuit.

VI.

Quæ nocitura tenes, quamuis sint cara, relinque.
Vtilitas opibus præponi tempore debet.

VII.

Constans & lenis, vt res expostulat esto.
Temporibus mores sapiens sine crimine mutat.

VIII.

Nil temere vxori de seruis crede querenti:
Sæpe etenim mulier, quem coniunx diligit, odit.

IX.

Cumq; mones aliquem, nec se velit ipse moneri,
Si tibi sit carus, noli desistere cœptis.

X.

Contra verbosos noli contendere verbis.
Sermo datur cunctis, animi sapientia paucis.

XI.

Dilige sic alios, vt sis tibi carus amicus.
Sic bonus esto bonis, ne te mala damna sequantur.

XII.

Θρύλλους φεῦγε, νέος μὴ μυθοπλάστης δόξῃς.
Οὐδένα μὲν σιγή, τὸ δ' ἐναντίον ἤκαχε πολλούς.

XIII.

Σπεῦτο τί σοι τις, μὴ σὺ περὶ αὖ ἑτέρῳ καθυπόσχῃ·
Ἡ πίστις σπανίη γάρ, πλείστων πλεῖστα λεγόντων.

XIV.

Εἴκε τις αἰνείῃ σε δικαστὴς ἴσθι σεαυτοῦ,
Μὴ δ' ἑτέροις πείθου πλέον ἢ σαυτῷ περὶ σαυτοῦ.

XV.

Εὐποιΐην ἑτέροιο διεξέρχου πολέεσσιν.
Εὖ δὲ σὺ ποιήσας ἑτέρους, σιγῇ τόδε κεῦθε.

XVI.

Ἔργα λόγους τε διηγήσῃ πολλῶν περὶ γῆρας.
Τοιάδε γηρῶν νέος ὢν ἔρδε, ὄφρα λέγῃς τὰ σὰ τῆμος.

XVII.

Μὴ μελέτω σοι, εἴ τινί τις κρύφα κοινολογεῖται.
Πᾶς γὰρ ὑπαίτιος ὤν, αὑτοῦ περὶ πάνθ' ὑφορᾶται.

XVIII.

Εὖ πράττων σύ γε, καὶ τἀναντία πάντα φυλάσσου.
Οὐ γὰρ ἀεὶ τάγε λοίσθια τοῖς προτέροισι συνᾴδει.

XIX.

Ἀμφιβόλου τε καὶ ἀδρανέος βίου ἄμμι δοθέντος.
Εἰν ἑτέρου θανάτῳ μὴ ἐλπίδα σὴν ποτε θείης.

XX.

Εἴ σοι δῶρα πένης φίλος εὐτελῆ ἐγγυαλίξοι,
Δέχνυσό τ' ἀσπασίως, κἀκείνῳ δὴ χάριν ἴσχειν.

XXI.

Γυμνὸν ἐπεί σε τεκοῦσα φύσις βρέφος ἔπλασεν, ὦ τᾶν
Μνώεό μοι πενίης κρατερώτατα φόρτον ἀείρειν.

XXII.

Μὴ τρομέειν, θάνατον βιοτῆς πέρας ὕστατον ὄντα.
Ὃς γὰρ τόνδε δέδοικε, καὶ ὃ ζῇ τοῦτ' ἀποβάλλει.

XXIII.

Εἴ σοι μηδεὶς εὖ τι παθὼν παρὰ σοῦ, χάριν ἴσχει,
Μὴ σύ γε μέμφεό μοι θεόν, ἀλλὰ γὰρ ἄγχε σεαυτόν.

XXIV.

Ὄφρα τι μὴ σπανίσῃς, σέο χρήμασι φειδομένως χρῶ,
Ὄφρα τὰ ὄντα δὲ τηρῇς, ἀεὶ σπανίσειν τὰ νόμιζε.

XII.

Rumores fuge ne incipias nouus autor haberi.
Nam nulli tacuisse nocet, nocet esse loquutum.

XIII.

Rem tibi promissam certo promittere noli:
Rara fides ideo, quia multi multa loquuntur.

XIV.

Cum te quis laudat, iudex tuus esse memento:
Plus aliis de te, quàm tu tibi, credere noli.

XV.

Officium alterius multis narrare memento.
Atqui aliis cum tu benefeceris, ipse sileto.

XVI.

Multorum cum facta senex & dicta recenses,
Fac tibi succurrant, iuuenis quæ feceris ipse.

XVII.

Ne cures, si quis tacito sermone loquatur.
Conscius ipse sibi de se putat omnia dici.

XVIII.

Cùm fueris fœlix, quæ sunt aduersa caueto:
Non eodem cursu respondent vltima primis.

XIX.

Cum dubia & fragilis sit nobis vita tributa.
In morte alterius spem tu tibi ponere noli.

XX.

Exiguum munus cum dat tibi pauper amicus,
Accipito placide, plene & laudare memento.

XXI.

Infantem nudum cum te natura crearit,
Paupertatis onus patienter ferre memento.

XXII.

Ne timeas illam, quæ vitæ est vltima finis:
Qui mortem metuit, quod viuit, perdit idipsum.

XXIII.

Si tibi pro meritis nemo respondet amicus,
Incusare Deum noli, sed teipse coërce.

XXIV.

Ne tibi quid desit, quæsitis vtere parce.
Vtq; quod est, serues, semper tibi deesse putato.

XXV.

Παῦ' ὁ δίων τινὶ δοῦναι, μή ποτε δὶς καθυπέρχῃ,
Μή τε καλὸς δοκέειν ἐθέλων αὐέμωλιος εἴης.

XXVI.

Τὸν σαίνοντα λόγοις, μὴ δ' ὄντα φίλον κραδίηθεν,
Καὶ σὺ δρᾶσον ὅμοια. τέχνη γὰρ τέχνην παίζει.

XXVII.

Μὴ σφόδρα μαλακοῖσι βροτοὺς ἐπέεσθι μετέρχου.
Ὅττι καὶ ἰξευτὴς ὄρνιν ἀπατῶν γλυκὺ μέλπει.

XXVIII.

Εἴ σοι τέκνα πενητεύοντι πέλει, τὰς δὲ τεχνὰς
Γυμνάζειν, βίον ὄφρα πένητα χοῖεν ἀπῶσαι.

XXIX.

Εἰ τόγε τίμιον εὐτελὲς, ὡς δὲ καὶ ἔμπαλιν αἴει
Οὔτ' οὖν φειδωλὸς δόξῃς, οὔτ' αὖ πλεονέκτης.

XXX.

Παῦ' ὃ σὺ μέμφεσθαι ἔθος ἴσχεις, μήποτε ῥέξῃς.
Παιδοτρίβῃσι γὰρ αἶσχος ἐλέγχεσθαι πταίοντας.

XXXI.

Αἴτει ἀεὶ τὸ δίκαιον ὂν, ἢ τὸ δοκοῦν καλὸν εἶναι.
Ὡς ἀμαθὲς αἰτεῖν γὰρ, ὃ αὖ τὸ δίκαιον ἀπείπῃ.

XXXII.

Μή ποτ' ἀγνῶτα προτιμότερον γνωστοῖο λογίσθῃ.
Τὸν γὰρ γνωστὸν ἔγνως κρίνας, τὰ δ' ἄγνωστα τυχηρά.

XXXIII.

Τοῦ βίου ἀμφιβόλου φανεροῖς ἐπὶ πήμασιν ὄντος,
Πᾶς μοχθῶν πρὸς κέρδος, κέρδος ὅπερ ζῇς ἡγοῦ.

XXXIV.

Ἔσθ' ὅτε νικᾶν οἷός τ' ὢν, ἑτέροις ὑπόεικε.
Καὶ γὰρ μετ' ἐριότητι φίλοι γλυκεροὶ συνέχονται.

XXXV.

Μὴ ὄκνει μεγάλ' αἰτίζων, τάγε μικρὰ παρέσχε.
Ὅττι χάρις φιλέοντας ἐν ἀλλήλοισι συνάπτει.

XXXVI.

Νείκεα τοῖς ἑτέροισι κομίζειν πάγχυ φυλάσσου.
Μῖσος γὰρ τρέφει ὀργὴ, ὁμοφροσύνη φιλίαν δέ.

XXXVII.

Εἴ σε πρὸς ὀργὴν ἀμπλακίη δμώων ὀροθύνει,
Σαυτὸν μαλθάσσειν, ὡς τῶν οἰκείων φείσῃ.

XXV.

Quod præstare potes, ne bis promiseris ulli:
Ne sis uentosus, dum uis urbanus haberi.

XXVI.

Qui simulat uerbis, nec corde est fidus amicus,
Tu quoq; fac simile: sic ars deluditur arte.

XXVII.

Noli homines blandos nimium sermone probare.
Fistula dulce canit, uolucrem dum decipit auceps.

XXVIII.

Si tibi sint nati, nec opes, tunc artibus illos
Instrue, quo possint inopem defendere uitam.

XIXX.

Quod uile est, carum: quod carum est uile putato:
Sic tu nec parcus, nec auarus habeberis ulli.

XXX.

Quæ culpare soles, ea tu ne feceris ipse.
Turpe est doctori, cum culpa redarguit ipsum.

XXXI.

Quod iustum est petito, uel, quod ut uideatur honestum:
Nam stultum est petere, quod posset iure negari.

XXXII.

Ignotum tibi nolito præponere notis.
Cognita iudicio constant, incognita casu.

XXXIII.

Cum dubia in certis uersetur uita periclis,
Pro lucro tibi pone diem, quicunq; laboras.

XXXIV.

Vincere cum possis, interdum cede sodali:
Obsequio quoniam dulces uincuntur amici.

XXXV.

Ne dubites, cum magna petas, impendere parua:
His etenim rebus coniungit gratia caros,

XXXVI.

Litem inferre caue, cum quo tibi gratia iuncta est.
Ira odium generat, concordia nutrit amorem.

XXXVII.

Seruorum ob culpam cum te dolor urget in iram,
Ipse tibi moderare, tuis ut parcere possis.

XXXVIII.

Οὐ κρατέειν δύνῃ ἐσθ' ὅτε καρτερίῃ περιγίγνου.
Καρτερίη γὰρ ἀεὶ ἀρετάων ἐστὶ μεγίστη.

XXXIX.

Φεῦγε ὅττι μάλιστα τάπερ καμάτοις ἐπορίσαο.
Ἐν ζημίῃ γὰρ κάματος, πενίην ἐποφέλλει.

XL.

Εὐπραγέων εὐεργετικὸς μὲν πολλάκι γίγνου
Σεῖο φίλοις, σαυτῷ δ' εὐεργετικώτατος αἰεί.

ΒΙΒΛΙΟΝ ΔΕΥΤΕΡΟΝ.

I.

Εἰ μὲν γηπονίας ἐθέλεις μαθέειν πολυκάρπους,
Ἡσίοδον μέτιθι κλυτόν, εἰ δ' αὖ εἰδέναι αἱρῇ,
Τὰς βοτανῶν δυνάμεις, Νίκανδρος τάς σε διδάξῃ.
Εἰ δὲ Φρυγῶν ποθέεις Δαναῶν τε δαῆναι ἀγῶνας,
Δίζεο θεῖον Ὅμηρον, ὃς Ἄρεος ἔργ' ἀγορεύει.
Εἰ δέ γ' ἐρᾷν βούλει, τοῦ ἐρᾷν τε τέχνην ἐπιγνῶναι,
Στεῖχε Θεόκριτον ἀμφιγλωσσαμανῆ, εἰ δὲ μέλει σοι
Σὺν σοφίῃ ζώειν, κλῦε μοι κείνων, ἃ μαθεῖν χρή.
Ὧν διὰ πᾶς βίοτον παθέων δίχα πάντα διοικεῖ,
Δεῦρ' ἴθι γοῦν, καὶ τίπτε πέλει σοφίη σύγε μυοῦ.

II.

Εἰ δύνασαι καὶ ἀλλοτρίοις ὄφελος ποτὲ γίγνου.
Ὅττι φίλους πεπορίσθαι κέρδιον ἢ βασιλεύειν.

III.

Λεῖπε Θεοῦ μυστήρια, καὶ πόλον, ὅς τις, ἐρευνᾷν.
Θνητὸς ἐὼν γάρ, καὶ περὶ θνητῶν ἔσσο μεριμνῶν.

IV.

Ῥῖπτε φόβον θανάτου, ἀλόγιστον γὰρ διὰ παντός,
Πότμον δειμαίνοντα βίου τέρψεις ἀποβάλλειν.

V.

Ὀργισθεὶς περὶ πράγματος ἀμφιβόλου μὴ ἐρίζειν.
Θυμὸς γὰρ πάντη νόον εἴργει τ' ἀτρεκὲς ἀθρεῖν.

VI.

Καὶ δαπάναις χρῶ μείζοσιν, εἴτε τὰ πράγματ' ἀπαιτεῖ.
Πρὸς δὲ τὰ πράγματα καιρὸν καταναλίσκου δεόντως.

XXXVIII.

Quem superare potes, interdum vince ferendo:
Maxima enim morum semper patientia virtus.

XXXIX.

Conserua potius, quæ sunt iam parta labore:
Cum labor in damno est, crescit mortalis egestas.

XL.

Dapsilis interdum notis, caris, & amicis,
Cùm fueris fœlix, semper tibi proximus esto.

LIBER SECVNDVS.

I.

TElluris si fortè velis cognoscere cultus,
Virgilium legito: quod si mage nosse laboras
Herbarum vires: Macer tibi carmine dicet:
Si Romana cupis & Punica noscere bella,
Lucanum quæras, qui Matris prælia dicet.
Si quid amare libet, vel discere amare legendo,
Nasonem petito. sin autem cura tibi hæc est,
Vt sapiens viuas, audi quo discere possis,
Per quæ semotum vitiis traducitur æuum,
Ergo ades, & quæ sit sapientia, disce legendo.

II.

Si potes, ignotis etiam prodesse memento,
Vtilius regno, meritis acquirere amicos.

III.

Mitte arcana Dei, cœlumq́ inquirere quid sit.
Cùm sis mortalis, quæ sunt mortalia cura.

IV.

Linque metum leti, nam stultum est, tempore in omni,
Dum mortem metuis, amittere gaudia vitæ.

V.

Iratus de re incerta contendere noli.
Impedit ira animum, ne possit cernere verum.

VI.

Fac sumptum propere, cum res desiderat ipsa:
Dandum etenim est aliquid, cum tempus postulat, aut res.

VII.

Φεῦγε ἀεὶ τὸ ἄγαν, τὰ δὲ μέτρια καὶ μάλα βούλου.
Βαιῷ γὰρ ποταμῷ ἀκλυστοτέρη φέρεται ναῦς.

VIII.

Πᾶν ὃ φίλοις σοῖς αἶσχος, περιστρίψειν μάλα κεῦθε.
Μὴ μέμψωνταί σε πλεῖστοι ὅ σε μοῦνον ἀνιᾷ.

IX

Μή τι βροτοὺς ἀλιτροὺς δόκει ἀμπλακιῶν ἀπόνασθαι.
Πρὸς καιρὸν γὰρ ἔληθον, καιρῷ δ᾽ αὖ φανεροῦνται.

X.

Σώματος οὐτιδανοῦ δύναμιν μὴ θῇς παρὰ φαῦλον.
Βουλῇ γὰρ κρατεῖ ἔσθ᾽ ὅτε, τοῦ φύσις εἴασ᾽ ἀκιδνόν.

XI.

Ον νοέεις σέο μείονα, τῷ δ᾽ ἐν καιρῷ ὑπείκειν.
Πολλάκι γὰρ κρείσσων πρὸς χείρονος ἥττων ὑπέστη.

XII.

Μὴ νείκει, μηδ᾽ ἀντιλέγειν θέλε σοῖσιν ἑταίροις.
Ἐκ τυτθῶν μύθων γὰρ ἔρις μέγα πολλάκις αὔξει.

XIII.

Κληδόσι μὴ ἴχνευε. τί βούλεται εἰς σὲ τὸ θεῖον.
Ὅττι γὰρ ὥρισε σοῦ πέρι, καί σεο νόσφι τελέσσει.

XIV.

Βασκανίην φυλακῇ πάσῃ τὰ μάλιστα φυλάσσου,
Η μὲν μὴ βλάπτῃ σε, φέρειν γέ μεν ἐστὶ βαρεῖα.

XV.

Καρτερόφρων ἔσο. κἂν ἀδίκως σὺ περὶ κρίσιν ἥλως.
Οὐκ εἰς μακρὰν γὰρ γελάσει, νικῶν τις ἀθέσμως.

XVI.

Οἰχομένης ἔριδος μὴ λοιδορίας ἀνενέγκῃς.
Σκαιὸν γὰρ μεμνῆσθαι μηνιθμοῖο μετ᾽ ἔχθραν.

XVII.

Μή σε σεαυτὸν ἐπαίνει, μήτ᾽ αὖθις ψέγε· καὶ γὰρ
Τοῦτ᾽ ἀνόητοι δρῶσι, κενὴ τοὺς δόξα ταράσσει.

XVIII.

Ἔστ᾽ ἀνάλωμα μὲν ᾖ, χρῶ χρήμασι σοῖς ὀλιγοστῶς.
Βαιῷ γάρ τε χρόνῳ τὸ μακρῷ πεπορισμένον ἔρρει.

XIX.

Ἄφρων γίγνου, ὥς τε τὸ πρᾶγμα. ἢ ὁ καιρὸς ἀπαιτεῖ.
Ἀφροσύνην γάρ που πλάττειν ἄκρη ἐστὶ φρόνησις.

VII.

Quod nimium est fugito: paruo gaudere memento.
Tuta mage est puppis, modico quæ flumine fertur.

VIII.

Quod pudeat, socios prudens celare memento:
Ne plures culpent id, quod tibi displicet vni.

IX.

Nolo putes prauos homines peccata lucrari:
Temporibus peccata latent, & tempore, parent.

X.

Corporis exigui vires contemnere noli.
Consilio pollet, cui vim natura negauit.

XI.

Quem scieris non esse parem tibi, tempore cede.
Victorem à victo superari sæpe videmus.

XII.

Aduersus notum noli contendere verbis.
Lis minimis verbis interdum maxima crescit.

XIII.

Quid Deus intendat noli perquirere sorte.
Quid statuat de te, sine te deliberat ipse.

XIV.

Inuidiam nimio cultu vitare memento:
Quæ si non lædit, tamen hanc sufferre molestum est.

XV.

Esto animo forti, cum sis damnatus inique.
Nemo diu gaudet, qui iudice vincit iniquo.

XVI.

Litis præteritæ noli maledicta referre.
Post inimicitias iram meminisse malorum est.

XVII.

Nec te collaudes, nec te culpaueris ipse.
Hoc faciunt stulti, quos gloria vexat inanis.

XVIII.

Vtere quæsitis modice, cum sumptus abundat.
Labitur exiguo, quod partum est tempore longo.

XIX.

Insipiens esto, cum tempus post..lat, aut res.
Stultitiam simulare loco, prudent a summa est.

XX.

Φεῦγε ἀσωτίην, καὶ σμικρολόγου κακότητα·
Αἵδε γὰρ ἀντίπαλοι φήμης ἀγαθῆς τελέθουσι.

XXI.

Μὴ πίστευε ἀεὶ τῷ ἀπαγγέλλοντί σοι αὐτῷ.
Τὴν πίστιν δ' ὀλίγην νέμε, πλείστων πλεῖστα λεγόντων,

XXII.

Ἤλιτες οἴνῳ σφαλλόμενος, μὴ σαυτὸν ἀθώου.
Πλημμελίη τίς γάρ ποτε γλεύκους, ἀλλὰ πιόντος.

XXIII.

Βούλευ κρίνου ἀπόρρητον γνωστῷ ἐχεμύθῳ,
Πιστῷ δ' ἰητρῷ πίστευε χρωτὸς θεραπείην.

XXIV.

Μὴ φέρε μοι βαρέως εὐημερίας ἀκολάστων.
Εὐμενέει γὰρ τοῖς τύχη, ὄφρα κακῶσαι χρείη.

XXV.

Πρόβλεπε μοῖραν ἐπερχομένην, ἵνα τὴν ὑπομείνῃς.
Κουφότερον γὰρ λυπεῖ, πᾶν ὃ προείδομεν ἥξειν.

XXVI.

Μὴ καταπίπτ' ἀπογινώσκων ἐν δυσπραγίῃσιν,
Ἀλλ' ἔχου ἐλπίδος οὐδ' ἐνὶ πότμῳ ἄνδρας ἐώσης.

XXVII.

Πᾶν ὃ σεαυτοῦ πρόσφορον οἶδας, μή τι παρέλθῃς.
Ὅττι μέτωπα κομῶντα, μετ' οὐ πολὺ τέτμε φαλάκρη.

XXVIII.

Δέρκεό μοι τάτ' ἐόντα τάτ' ἐσόμεν' ὕστερον αὖθις.
Ζηλῶν ἐν τούτῳ θεὸν, ὃς δύο ταῦτα δοκεύει.

XXIX.

Ἔσθ' ὅτε γίγνου καὶ ὀλιγαρκὴς, ὄφρ' ὑγιαίνοις.
Παῦρα τρυφῇ γε δίδου, τῷ δ' εὐεκτεῖν γε τὰ πλεῖα.

XXX.

Μὴ ψήφου δήμοιο μονώπετος ἐξολιγώρει·
Μή ποτε οὐκ ἀρέσῃς τινὶ, πολλοῖς ἀντία βάζων.

XXXI.

Ἔστω σοι μελεδώνων πρώτη φροντὶς ὑγείας.
Καὶ μὴ καιροὺς αἰτιῶ, ἤν σοι νοῦσος ἐπέλθῃ.

XXXII.

Ῥίπτε ἐνύπνια, νοῦς μερόπων γὰρ, ἃ βούλεται αἰεὶ,
Ἐγρήσσων τ' ἐλπίζει, καὶ ἐν ὕπνοισι θεᾶται.

XX.

Luxuriam fugito, simul & vitare memento.
Crimen auaritiæ: nam sunt contraria famæ.

XXI.

Noli tu quædam referenti credere semper.
Exigua est tribuenda fides, qui multa loquuntur.

XXII.

Quod potu peccas ignoscere tu tibi noli:
Nam nullum crimen vini est, sed culpa bibentis.

XXIII.

Consilium arcanum tacito committe sodali.
Corporis auxilium medico committe fideli.

XXIV.

Successus noli indignos tu ferre moleste.
Indulget fortuna malis, vt lædere possit.

XXV.

Prospice, qui veniunt, hos casus esse ferendos:
Nam leuius lædit, quidquid præuideris antè.

XXVI.

Rebus in aduersis animum submittere noli.
Spem retine: spes vna hominem nec morte relinquit.

XXVII.

Rem tibi quam noscis aptam, dimittere noli.
Fronte capillata est, post hæc occasio calua.

XXVIII.

Quod sequitur, specta, quodq; imminet, ante videto.
Illum imitare Deum, qui partem spectat vtramq;.

XXIX.

Fortior vt valeas, interdum parcior esto.
Pauca voluptati debentur: plura saluti.

XXX.

Iudicium populi nunquam contempseris vnus:
Ne nulli placeas, dum vis contemnere multos.

XXXI.

Sit tibi præcipuè, quod primum est, cura salutis.
Tempora ne culpes, quum sis tibi causa doloris.

XXXII.

Somnia ne cures: nam mens humana quod optat,
Cum vigilat sperans per somnum cernit idipsum.

ΒΙΒΛΙΟΝ ΤΡΙΤΟΝ.

I.

Ὡς δὴ ταῦτ' ἔπεα ξυνετῶς ποθέεις ἀναγνῶναι,
Ταῖς δ' ὑποθημοσύναις μετιὼν ὄφελος βίου οὔσαις,
Σὸν ῥυθμιζε διδάγμασι νοῦν, καὶ μήποτε παύσῃς.
Εἰκὼν γὰρ θανάτου βίος ἄμμορος ὢν διδαχάων.
Ἔνθεν δὴ πολὺ κέρδος ἀποίσεαι. εἰ δ' ἀμελήσεις,
Οὔτ' ἐμὲ, τὸν γράψαντα, σεαυτὸν δ' ἐξαθερίσεις.

II.

Ὀρθῶς ζῶν, μύθων μὴ ἐπιστρέφου ἀφρονεόντων,
Οὐδὲ γὰρ ἡμέτερον διερευνᾶν μῦθον ἑκάστου.

III.

Κληθεὶς μάρτυς σωζομένης προτέρου σέο τιμῆς,
Ὅσον ἔνεστι, κάλυψον ἁμαρτάδα σοῖο φίλοιο.

IV.

Μύθους μειλιχίους τε, καὶ αἱμυλίους πεφύλαξο.
Νημερτὴς ἁπλότης ἀγαθὴ, δολίη δ' ἡ ἐπακτέ.

V.

Νωθρείην φύγε, ἀργίην τοῦ ζωτικοῦ οὔσαν.
Ψυχῆς ἀσθενέος γὰρ χαύνωσις χρόα τήκει.

VI.

Ἔσθ' ὅτε παρβολάδην ταῖς φροντίσι μίγνυε τέρψεις,
Ὄφρα φέρειν θυμὸς φίλος ὅν τινα οὖν πόνον ἴσχῃ.

VII.

Μήτε λόγου, μήτ' ἔργου ἐπιδράξῃ ἑτέροιο.
Μὴ τῷ σῷ παραδείγματι καὶ σέ τις αὖθι γελάσσῃ.

VIII.

Κλῆρον ὃν ἔχες, πατρόθεν, ἔγγραφέ μοι πινάκεσσιν,
Καὶ μιν ἀέξων φρούρει, μή τι κακῶς ἐπακούῃς.

IX.

Ἢν ἄφενός τοι πλεῖστος ἔοι ποτὶ γήραος οὐδῷ,
Σμικρολόγος μὴ ἴσθι, φίλοισι δὲ πλουσιόδωρος.

X.

Ὠφέλιμον θεράποντος βουλὴν μή τι παρέλθῃς,
Μὴ δ' ἑτέροιο τινὸς γνώμην, εἰ σύμφορος εἴη.

XI.

Εἰ μὴ χρήματά σοι, καὶ κτήματα, ὡς πάρος, εἴη,
Ζῆσον τοῖς δ' ἀγαπῶν, ἃ τέως σοι ὁ καιρὸς ὀπάζει.

LIBER TERTIVS.

I.

HOc quicunq; velis carmen cognoscere lector,
Hæc præcepta feres, quæ sunt gratissima vitæ.
Instrue præceptis animum, nec discere cesses:
Nam sine doctrina vita est quasi mortis imago.
Commoda multa feres: sin autem spreueris illud,
Non me scriptorem, sed te neglexeris ipse.

II.

Cum rectè viuas, ne cures verba malorum.
Arbitrij nostri non est, quid quisq; loquatur.

III.

Productus testis, saluo tamen ante pudore,
Quantumcunq; potes celato crimen amici.

IV.

Sermones blandos, blæsosq; cauere memento.
Simplicitas veri sana est, fraus ficta loquendi.

V.

Segnitiem fugito, quæ vitæ ignauia fertur.
Nam cùm animus languet, consumit inertia corpus.

VI.

Interpone tuis interdum gaudia curis,
Vt possis animo quemuis sufferre laborem.

VII.

Alterius dictum, aut factum ne carpseris vnquam:
Exemplo simili ne te derideat alter.

VIII.

Quæ tibi sors dederit tabulis suprema notato,
Augendo serua, ne sis quem fama loquatur.

IX.

Cum tibi diuitiæ superant in fine senectæ,
Munificus facito viuas, non parcus amicis.

X

Vtile consilium Dominus ne despice serui.
Nullius sensum si prodest, tempseris vnquam.

XI.

Rebus, & in censu, si non est, quod fuit antè,
Fac viuas contentus eo, quod tempora præbent.

XII.

Μήποτε κερδίστην ἄλοχον ἀγάγῃ διὰ φερνήν.
Ὡς μὴ ἀνάγκην ἔχῃς κατέχειν ἐπαχθέα ἐοῦσαν.

XIII.

Τῷ πολλῶν παραδείγματι μάνθανε τί ποτε ῥέξεις,
Ἢ φεύξῃ· βίοτος γὰρ τῶνδε διδάσκαλος ἄμμιν.

XIV.

Τοῖς δυναστοῖς ἐπιχείρει, μήποτε τοῖσδε πεποιθείς,
Μαψίδιον προλίπῃς τοὔργον καμάτοισιν ἀπειπών.

XV.

Μὴ σίγα τόπερ ἔγνως οὐκ ὀρθῶς διαπραχθέν.
Μὴ σκαιὸς ζηλῶν δόξῃς, τὰ τοιαῦτα σιωπῶν.

XVI.

Λίσσεο συμμαχίην κριθεὶς περὶ θεσμὰ δικαστοῦ·
Κ' αὐτοὶ γάρ τε νόμοι ποθέουσι δίκη διέπεσθαι.

XVII.

Ἤν τι δικαίως πάσχῃς, καρτερικῷ φέρε θυμῷ.
Καὶ σαυτῷ πταίσας, σαυτῷ σὺ τίνυε δικαστήν.

XVIII.

Βιβλία πάγχυ μετέρχεο πολλά, μετέρχεο πλεῖστα·
Ποιηταὶ θαυμαστὰ γάρ, ἀλλ' οὐ πιστὰ λέγουσιν.

XIX.

Συσσιτῶν ἑτέροις, καὶ μέτριος λόγων ἴθι.
Μὴ κόβαλος δόξῃς, ὅτε κόσμιος ἔμμεν ὀφείλεις.

XX.

Σῆς ὀργιζομένης ἀλόχου μὴ δείδιθι φωνάς.
Τῆμος γάρ σοι τεύχει ἐνέδρα γυνή, ὅτε κλαίει.

XXI.

Χρῶ τοῖς χρήμασι, καὶ μὴ ἀπλήστως τοῖς δὲ καταχρῶ.
Τῶν σῶν γὰρ δαπανηθέντων, τὰ ξεῖνα ματεύσῃς.

XXII.

Ἀσφάλισαι τεὸν ἦτορ, μὴ ταρβεῖν ποτε πότμον.
Ὅς κ' ἂν μὴ καλὸς ᾖ, πάλιν τοῦ γε κακῶν τέλος ἐστί.

XXIII.

* *
* *
*

XXIV.

Μὴ ψυχρῇ στεγνῇ σὺς ἀμφαγάπαζε τοκῆας.
Μητέρι μὴ προσκροῦ ἐθέλων ἀρέσαι γενετῆρι.

XII.

Vxorem fuge ne ducas sub nomine dotis:
Nec retinere velis si cœperit esse molesta.

XIII.

Multorum disce exemplo, quæ facta sequaris;
Quæ fugias. Vita est nobis aliena magistra.

XIV.

Quod potes, id tentes: operis ne pondere pressus
Succumbat labor, & frustra tentata relinquas.

XV.

Quod nosti haud rectè factum, nolito tacere:
Ne videare malos imitari velle tacendo.

XVI.

Iudicis auxilium sub iniqua lege rogato.
Ipsæ etiam leges cupiunt, vt iure regantur.

XVII.

Quod merito pateris, patienter ferre memento:
Cumq; reus tibi sis, ipsum te iudice damna.

XVIII.

Multa legas facito, perlectis perlege multa.
Nam miranda canunt, sed non credenda poëtæ.

XIX.

Inter conuiuas fac sis sermone modestus.
Ne dicare loquax, dum vis vrbanus haberi.

XX.

Coniugis iratæ noli tu verba timere:
Nam lacrymis struit insidias, dum fœmina plorat.

XXI.

Vtere quæsitis, sed ne videaris abuti.
Qui sua consumunt, cum deest, aliena sequuntur:

XXII.

Fac tibi proponas mortem non esse timendam:
Quæ bona si non est, finis tamen illa malorum est.

XXIII.

Vxoris linguam, si frugi est, ferre memento:
Namq; malum est, nil velle pati, nec posse tacere.

XXIV.

Dilige non ægra caros pietate parentes:
Nec matrem offendas, dum vis bonus esse parenti.

ΒΙΒΛΙΟΝ ΤΕΤΑΡΤΟΝ.

I.

Ἀσφαλέα ζωὴν ὅστις διάγειν ἔρον ἔχεις,
Καὶ παθέων ἀμιγὲς φρουρεῖν κέαρ οὐ λεσθύμαιν·
Τὰς δὲ παραιφασίας ἀναγινώσκοις ὅσαι ὧραι.
Δήεις γάρ τι παρ' αὐταῖς, τῷ προσέχειν σε ἀνάγκη.

II.

Πλούτου ὑπερφρόνει, ἣν ἐθέλῃς νόον ὄλβιος εἶναι.
Οὗ ὁ ἐελδόμενος τητώμενος αἰὲν ἀπαιτεῖ.

III

Τ' ἀγαθὰ τῆς φύσεως οὐκ αὖ ποτέ σοι ἐπιλείψει,
Ἢν ἀγαπᾷς κείνοις, ἐς ἅπερ χρεῖος κατεπείγει.

IV.

Ἢν ἀφύλακτος ἐών, ἀλόγως τὰ σὰ πάντα διοικήσῃς,
Μή τι τύχην λέγε τυφλήν, μὴ τοίην περ ἐοῦσαν.

V.

Ἀργυρέῳ χρῶ, ἀργυρίου φιλίην δ' ἀπόλειπε,
Ἢν οὐδεὶς σοφός, οὐθεὶς τίμιος ἠγάσατ' ἀνήρ.

VI.

Ἀφνειὸς γεγονὼς ὑγιῆ σέο τὸν χρόα τήρει.
Ὄλβον ἔχει νοσέων γὰρ πλοῦτος, οὐχὶ καὶ αὐτόν.

VII.

Πληγὰς ἔσθ' ὅτε μυστοπόλοιο φέρων παρὰ χειρός,
Τλῆθι καὶ ἐμβρίμημα χολωομένοιο τοκῆος.

VIII.

Πράττε τὰ ὠφέλιμα, προσεχῶς δὲ φύλασσε ἐκεῖνα,
Οἷς τισιν ἀμφίβολος πέλει ἡ τοῦ κέρδους ἐλπίς.

IX.

Πᾶν ὁ δύνῃ δοῦναι χάριν αἰτίζοντι χαρίζου.
Τοὺς ἀγαθοὺς δ' οὖ ῥέξαι, ἐν μέρει ἔπλετο κέρδους.

X.

Πᾶν ὁποῖον ὂν ὕποπτόν σοι, ταχέως ἀποσείου.
Ὅτι φιλεῖ τὰ πάρος ὀλιγωρηθέντα λυμαίνειν.

XI.

Ἢν ἀκόλαστος ὄρεξις ἐνοχλοίη σε Κυθείρης,
Μὴ θέλε χρηστεύεσθαι λαιμάργου γαστρὸς ἑταίρᾳ.

LIBER QVARTVS.

I.

Securam quicunque cupis traducere vitam,
Nec vitiis hærere animum, quæ moribus obsunt,
Hæc præcepta tibi semper relegenda memento.
Inuenies aliquid, in quo te vtare magistro.

II.

Despice diuitias, si vis animo esse beatus:
Quas qui suspiciunt, mendicant semper auari.

III.

Commoda naturæ nullo tibi tempore deerunt,
Si contentus eo fueris, quod postulat vsus.

IV.

Cum sis incautus, nec rem ratione gubernes,
Noli fortunam, quæ non est, dicere cæcam.

V.

Dilige denarium, sed parcè dilige formam,
Quam nemo sanctus nec honestus captat habere.

VI.

Cùm fueris locuples, corpus curare memento,
Æger diues habet nummos, se non habet ipsum.

VII.

Verbera cum tuleris, discens aliquando, magistri,
Fer patris imperium, cum verbis exit in iram.

VIII.

Res age, quæ prosunt, rursus vitare memento.
In quibus error inest, nec spes est certa laboris.

IX.

Quod donare potes, gratis concede roganti:
Nam rectè fecisse bonis in parte lucrorum est.

X.

Quod tibi suspectum est, confestim discute quid sit:
Namque solent primo quæ sunt neglecta, nocere.

XI.

Cum te detineat Veneris damnosa voluptas,
Indulgere gulæ noli, quæ ventris amica est.

XII.

Ἢν προκέηται θηρεία πάντ' ἔχειν διὰ δεῖμον,
Ἓν κέλομαι τρομέειν σε τὸν ἄνθρωπον περὶ πάντων.

XIII.

Εἰ σθένος εὐπάλαμον σέο τὴν χρόα συμπεριφράττει.
Σπεῦδε καὶ εὖ φρονέειν, ὡς γὰρ δόξεις ἀνδρεῖος.

XIV.

Συμμαχίην παρὰ γνωστῶν αἰτεῖν εἴποτε κάμνῃς.
Πιστοῦ γὰρ φίλου ἰητὴρ προφερέστερος οὐδείς.

XV.

Εἰ σὺ πταίεις, τί θνήσκειτο ἕκητι σοῦ θυμός;
Ἀφραδὲς εἰν ἑτέρου μόρῳ ἐλπίδας σωὰς εἶναι.

XVI.

Εὖτ' ἂν ἑταῖρον, ἢ αὖ πιστὸν φίλον ὦ φίλε δίζῃ,
Οὐχὶ τύχη μερόπων, ὁ βίος δ' ἰχνευτέος ἤτω.

XVII.

Χρῶ τοῖς κερδηθεῖσι, κνιπίης οὔνομα φεύγων,
Τίπτ' ὄφελος πλούτου, εἰ πλουτεῖς αἰὲν ἀπαιτῶν;

XVIII.

Τίμιον εἰ φήμην ἐθέλοις βιόων περιφυλάσσειν.
Σπεῦδε φυγεῖν κραδίηθε κακὰς τέρψεις βιότοιο.

XIX.

Ἀρτίφρων, τελέθων, νόα μὴ χλεύαζε γεραιόν,
Πάντεσι γὰρ πολιοῖς παίδων φρένες εἰσὶ νεογνῶν.

XX.

Καὶ τέχνην μάθε, ὅττι τύχης τροχαλῶς ἀπιούσης.
Τέχνη μίμνει, καὶ μερόπων βίον οὐκ ἀπολείπει.

XXI.

Φράζεο πάντα σιωπῇ, τί ποτε λέγουσιν ἕκαστοι.
Ἤθεα γὰρ μερόπων γυμνοῖ λόγος, ἠδὲ καλύπτει.

XXII.

Ἄσκει σὴν τέχνην, καίπερ τὴν δ' ἐκμελετήσαις.
Ὡς μελέτη γὰρ νοῦ, ταῖς χερσὶν ἐθισμὸς ἀρήγει.

XXIII.

Μή ποτ' ἐπερχομένης ὥρης ἐμπάζεο πότμον.
Ὃ γὰρ δείδιεν οἶτον, ὃς οἶδε βίον διαπαίζειν.

XXIV.

Μάνθανε πρόσθε πρὸς εἰδότος, σὺ δὲ σόφιζ' ἀδιδάκτους.
Τῶν ἀγαθῶν δία γὰρ δόκιμον τελέθει τὸ δίδαγμα.

XXV. Τόν

XII.

Cum tibi proponas animalia cuncta timere,
Vnum hominem tibi præcipio plus esse timendum.

XIII.

Cum tibi prævalidæ fuerint in corpore vires,
Fac sapias: sic tu poteris vir fortis haberi.

XIV.

Auxilium à notis petito, si fortè laboras.
Nec quisquam melior medicus, quàm fidus amicus.

XV.

Cum sis ipse nocens, moritur cur victima pro te?
Stultitia est morte alterius sperare salutem.

XVI.

Cum tibi vel socium, vel fidum quæris amicum,
Non tibi fortuna est hominis, sed vita petenda.

XVII.

Vtere quæsitis opibus: fuge nomen auari.
Quid tibi diuitiæ prosunt, si pauper abundas?

XVIII.

Si famam seruare cupis, dum viuis, honestam:
Fac fugias animo, quæ sunt mala gaudia vitæ.

XIX.

Cum sapias animo, noli irridere senectam:
Nam quicunq; senex, sensus puerilis in illo est.

XX.

Disce aliquid: nam cum subito fortuna recedit,
Ars remanet, vitamq; hominis non deserit vnquam.

XXI.

Perspicito tecum tacitus quid quisq; loquatur.
Sermo hominum mores & celat, & indicat idem.

XXII.

Exerce studium, quamuis perceperis artem.
Vt cura ingenium, sic & manus adiuuat vsum.

XXIII.

Multum ne cures venturi tempora fati.
Non timet is mortem, qui scit contemnere vitam.

XXIV.

Disce, sed à doctis: indoctos ipse doceto:
Propaganda etenim rerum doctrina bonarum.

XXV.

Τόσον πῖν' ὅσον δέῃ, ἢν ἐθέλῃς ὑγιαίνειν.
Πάσης γὰρ σοῦ ἀπατέλη δεινῆς νόσου ἐστὶν ἀφορμή.

XXVI.

Αἰνεῖς ἀμφαδίην τε, καὶ ὡς καλὸν δοκιμάζεις,
Ἄθρει μὴ τοῦτ' αὖ πάλιν εὐκολίη καταμέμψῃ.

XXVII.

Εἰν εὐημερίῃ τἀναντία πάντα φυλάσσου.
Ἔμπαλι δυσπραγέων δὲ τὰ κρείττονα προσδόκα ἥξειν.

XXVIII.

Μάνθανε μὴ λήγων, μελέτη σοφίην γὰρ ἀέξει.
Καὶ μακρῇσι τριβαῖς ὀλίγη σύνεσις ἐπορίσθη.

XXIX.

Αἴνει φειδόμενος, ὃν πολλάκι γὰρ δοκιμάζεις,
Ἦμαρ ἓν ἐμφανίσει σοι, ποῖός τις φίλος ἦεν.

XXX.

Μὴ αἰσχυνθῇς ταῦτα μαθεῖν, ἅπερ οὐ δεδάηκας.
Αἶσχος μήτι μαθεῖν ἐθέλειν, τὸ δ' ἐναντίον αἶνος,

XXXI.

Εὐφροσύνη καὶ ἔρις Βάκχῳ Παφίῃ τε σύνεισιν.
Ὡς τὸ μὲν ἀσπάζου, φεύγειν δ' ἔριδας κέλομαί σε.

XXXII.

Τοὺς θυμῷ μαλακοὺς καὶ σιγαλέους πεφύλαξο,
Εὔκηλος ποταμὸς γὰρ ἀεὶ τάχα βένθεα κεύθει.

XXXIII.

Εἴ τ' αὖ τῇ τῶν σῶν ἄχθῃ χαλεπῶν φίλος αἴσῃ,
Βλέψον ἐς ἄλλου δυσπραγίαν, πόσον ἔπλετο χείρων.

XXXIV.

Τοῖς δυνατοῖς ἐπιχείρει, ἅπτεσθαι γὰρ ἐρετμοῖς,
Θῖνα βεβαιότερον, ἢ λαῖφος ἐς ὕψος ἀείρειν.

XXXV.

Ἀντίον ἀνδρὶ δικαίῳ μὴ φλαύρως ποτ' ἐρίσσῃς,
Τὰς ἀδίκους ἐργὰς γὰρ ἀμύνεται ἶφι τὸ θεῖον.

XXXVI.

Γυμνωθεὶς τῶν σῶν μὴ ἀνιῶ, μὴ δ' ὀλοφύρου.
Χαῖρε δὲ μᾶλλον, ἐπεὶ συνέβη σοι ἔχειν ἀπολέσσαι.

XXXVII.

Ἐστὶ μὲν ἄλγος ὀπαχθές, ἅτις κέκτητ' ἀποβάλλειν.
Ἐμπὴς δ' εἰσὶν ἃ τῶν φρονέοντα φέρειν ἐπέοικεν.

XXV.

Hoc bibe quod possis, si tu vis viuere sanus.
Morbi causa mali est homini quandoq; voluptas.

XXVI.

Laudaris quodcunq; palam, quodcunq; probaris,
Hoc vide ne rursus leuitatis crimine damnes.

XXVII.

Tranquillis rebus quæ sunt aduersa caueto.
Rursus in aduersis melius sperare memento.

XXVIII.

Discere ne cesses, cura sapientia crescit.
Rara datur longo prudentia temporis vsu.

XXIX.

Parce laudato. nam quem tu sæpe probaris,
Vna dies, qualis fuerit, monstrabit, amicus.

XXX.

Ne pudeat, quæ nescieris, te velle doceri.
Scire aliquid, laus est, pudor est nil discere velle.

XXXI.

Cum Venere & Baccho lis est, & iuncta voluptas.
Quod lætum est, animo complectere, sed fuge lites.

XXXII.

Demissos animo ac tacitos vitare memento.
Qua flumen placidum est, forsan latet altius vnda.

XXXIII.

Cum tibi displiceat rerum fortuna tuarum,
Alterius specta, quo sis discrimine peior.

XXXIV.

Quod potes id tenta: nam littus carpere remis,
Tutius est multo, quam velum tendere in altum.

XXXV.

Contra hominem iustum praue contendere noli.
Semper enim Deus iniustas vlciscitur iras.

XXXVI.

Ereptis opibus noli mœrere dolendo:
Sed gaude potius, si non contingat habere.

XXXVII.

Est iactura grauis, quæ sunt amittere damnis.
Sunt quædam, quæ ferre decet patienter amicum.

XXXVIII.

Μὴ μακροὺς σαυτοῦ καιροὺς βιοτῆς καθυπίσχου.
Ὡς σκιὰ σώματι γὰρ, μόρος ἕσπεται ἧπερ ἀφίξῃ.

XXXIX.

Ἱλάσκου θυέεσσι θεὸν, λίπε μόσχον ἀρότρῳ.
Μὴ δέ μιν εὐφρανίσαι δόκει αἵματι καὶ σφαγίοισι.

XL.

Δὸς τόπον ἠνορέηφι τύχης, καὶ ὕπεικε κακωθείς.
Ἥγε γὰρ ἔχε λυμῆναι, χοίη καὶ ποτ' ὀνῆναι.

XLI.

Εἴποτ' ἁμαρτήσῃς, παίδευε σὺ σαυτὸν ἔπειτα.
Τραύματα γὰρ θεραπεύεμεν, ἄλγεσιν ἄλγος ἀκεῖται.

XLII.

Μήπου πουλυχρόνοιο φίλου φιλίην ἀποσείου.
Ἤθεα κεῖνος ἀμείψε, σὺ μνώεο τῶν πρὶν ὁμήρων.

XLIII.

Ἴσθ' ἐν προστασίῃ χαρίεις, ἵνα φίλτερος εἴης.
Καὶ μὴ φῶσί σε τῆς ἀρχῆς ὀλετῆρα κάκιστον.

XLIV.

Φράζεο μή ποθ' ὕποπτος ἐὼν ἀεὶ ἄθλιος εἴης.
Δειλοῖς γὰρ καὶ ὑπόπτοις λωΐτερος μόρος ἢ ζῆν.

XLV.

Ἢν ὠνήσῃς σαυτῷ δμῶας πρὸς θεραπείην,
Σφᾶς τε καλεῖς δούλους, κ' ἀνθρώπους ὄντας ἐπίσω.

XLVI.

Ἄρπασον αἶψα λαβὼν τὴν προτίστως ἐπιοῦσαν.
Μὴ δὲ δίωκε παλίνδρομος, ὧν πάρος ἐξαθέλουσας.

XLVII.

Μὴ ἐπίχαιρε κακῶν θανάτοις φίλος ἐξαπιναίοις.
Ὅττι καὶ ἐσθλοὶ θνήσκουσ' ὧν βίος ἄμμορος αἴσχους.

XLVIII.

Πτωχὸς ἐὼν καὶ ἔχων κάλλει περίπυστον ἄκοιτιν.
Πλαττόμενον φιλίην κακὸν ἐχθρὸν πάγχυ φυλάσσου.

XLIX.

Εἰ συνέβη σε μαθεῖν μακρὸν ἐσπουδακότα πολλὰ,
Σπεῦδε μαθεῖν καὶ πλείονα, φεῦγέ τε τὴν ἀμέλειαν.

L.

Θαυμάσεις ἔπεσι στιχουργήσαντά με γυμνοῖς;
Τοῦτο καὶ νοῦ βραχύτης δρᾷ συνδύο ταῦτα τιθεῖσαι.

ΤΕΛΟΣ.

XXXVIII.

Tempora longa tibi noli promittere vitæ.
Quocunq; ingrederis, sequitur mors corporis umbram.

XXXIX.

Thure Deum placa, vitulum sine crescat aratro.
Ne credas placare Deum, dum cæde litatur.

XL.

Cede locum læsus fortunæ, cede potenti.
Lædere quæ potuit, prodesse aliquando valebit.

XLI.

Cum quid peccaris, castiga te ipse subinde.
Vulnera dum sanas, dolor est medicina doloris.

XLII.

Damnaris nunquam, post longum tempus amicum.
Mutauit mores, sed pignora prima memento.

XLIII.

Gratior officiis quo sis mage carior esto:
Ne nomen subeas, quod dicitur officiperda.

XLIV.

Suspectus, caueas, ne sis miser omnibus horis:
Nam timidis & suspectis aptissima mors est.

XLV.

Cum fueris seruos proprios mercatus in usus,
Et famulos dicas, homines tamen esse memento.

XLVI.

Quam primum rapienda tibi est occasio prima:
Ne rursus quæras, quæ iam neglexeris ante.

XLVII.

Morte repentina noli gaudere malorum.
Felices obeunt, quorum sine crimine vita est,

XLVIII.

Cum tibi sit coniunx, & res, & fama laboret,
Vitandum ducas inimicum nomen amici.

XLIX.

Cum tibi contingat studio cognoscere multa,
Fac discas plura, & vites non velle doceri.

L.

Miraris verbis nudis me scribere versus?
Hos breuitas sensus fecit coniungere binos.

FINIS.

CAPVT XIII.

DE ABBREVIATIONIBVS.


ἀπὸ val. ἀπὸ	γγ val. γγ	σθαι, σθαι val. σθαι
αὐτȣ̃ val. αὐτȣ̃	γ val. γ	σθην val. σθην
αὐτῷ val. αὐτῷ	καὶ, κὶ val. καὶ	σθ val. σθ
αρ val. αϱ	θν val. θν	σχ val. σχ
δὲ val. δὲ	θρ val. θρ	ϛ val. στ
δὴν val. δὴν	μὲν val. μεν	στρ val. στϱ
ἐπὶ val. ἐπὶ	μετὰ val. μετὰ	ται val. ται
ἐκ val. ἐκ	ος val. ος	ταῖς val. ταῖς
ἐν val. ἐν.	πρὰ val. πρὰ	τὸν val. τὸν
ει val. ει	παρὰ val. παϱὰ	τὴν τὴν val. τὴν
ευ val. ευ	πρὸ val. πϱὸ	τȣ̃ val. τȣ̃
γὰρ val. γὰϱ	περὶ val. πεϱὶ	οὐκ val. οὐκ
γεν val. γεν	πει val. πει	ȣ val. ου
γὴν val. γὴν.	πτ val. πτ	ην val. ην
γει val. γει	σκ val. σκ	υν val. υν
γν val. γν	σϖ val. σϖ	υι val. υι
γρ val. γϱ	σσ val. σσ	χρ val. χϱ

F I N I S.

N. T Enias Tu Eniu to Enia Ton Enian
o Enia. Dualv. N et A: to Enia: G et D: Toiv
Enian: o.

P. N: i Eniai Ton Enion Tis Eniais Tus Enias
o Eniai.





S.

[illegible]

[illegible]